τὸν Φειδιππίδην τῷ ἀδίκῳ λόγῳ, καὶ ταῖς Νεφέλαις ἐρῶσθαι πολλὰ φράσαι κελεύει, καὶ πρὸς ἑαυτὸν τρέπεσθαι. τοὐναντίον δὲ ὁ ἄδικος τὰς τοῦ βίου ἡδονὰς αὐτῷ συνιστάνει, καὶ πρὸς ἑαυτὸν μεταβαίνειν, καὶ τὰς τῆς ἀδικίας ὠφελείας διώκειν πείθει.

Δι. Λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν ὡς διέκειτο,
Ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν, καὶ σωφροσύνη 'νενόμιστο.
Πρῶτον μὲν ἔδει φωνὴν παιδὸς γρύξαντος μηδὲν ἀκοῦσαι.
Εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως εἰς κιθαριστοῦ,
Τοὺς κωμήτας γυμνοὺς ἀθρόους, κεἰ κριμνώδη κατανίφοι.
Εἶτ' αὖ προμαθεῖν ᾆσμ' ἐδίδασκε, τὼ μηρὼ μὴ ξυνέχοντας.
Ἢ Παλλάδα περσέπολιν δεινάν. ἢ τηλέπορόν τι βόαμα.
Ἐντειναμένους τὴν ἁρμονίαν ἣν οἱ πατέρες παρέδωκαν.
Εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ' ἢ κάμψειέ τινα καμπὴν,
Οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους
Ἐπετρίβετο τυπτόμενος πολλὰς, ὡς τὰς μούσας ἀφανίζων.
Ἐν παιδοτρίβου δὲ καθίζοντας, τὸν μηρὸν ἔδει προβαλέσθαι
Τοὺς παῖδας. ὅπως τοῖς ἔξωθεν μηδὲν δείξειαν ἀπηνές.
Εἶτ' αὖ πάλιν αὖθις ἀνισταμένους συμψῆσαι, καὶ προνοῆσαι
Εἴδωλον τοῖσιν ἐρασταῖς τῆς ἥβης μὴ καταλείπειν γε.
Ἠλείψατο δ' ἂν τοὐμφαλοῦ οὐδεὶς παῖς ὑπένερθε τότ' ἂν, ὥστε
Τοῖς αἰδοίοισι δρόσος, καὶ χνοῦς, ὥσπερ μήλοισιν ἐπήνθει.
Οὐδ' ἂν μαλακὴν φυρασάμενος τὴν φωνὴν πρὸς τὸν ἐραστὴν ᾖει
Αὐτὸς ἑαυτὸν προαγωγεύων τοῖς ὀφθαλμοῖς ἐβάδιζεν.

IV. *Dicam igitur de disciplina veterum, qualis fuerit, cùm*
*Ego iusta loquendo florerem, atque modestia legibus esset*
B *Sancita: ibi nefas primùm, aliquem puero auscultare loquenti:*
*Deinde in via oportebat recto ipsos ire gradu ad Cytharædum,*
*Vicatim nudos, confertos: etiamsi ningeret atri*
*Modios furfuris. Ibi carmen discere docebat Citharœdus,*
*Non compressantes femora: & vel de Pallade, Dea metuenda,*
C *Vastatrice urbium: vel clamorem, alium longéque vagantem*
*Concentum intendere: ita vt patres iam nunc olim instituissent.*
*Sin autem scurriliter aliquis caneret, aut flecteret ore*
*Infractam vocem, qualem nostri, difficilem vndique flexum*
*Edunt, imitati Phrynim: continuò flagris male cæsus*
D *Tergúmque dolatus, pœnam dabat: vt qui Musas aboleret.*
*In ludo autem residentes, pueri obijciebãt femur intus,*
*Ne quid monstrarent turpe sui his, qui extrinsecus aspiciebant.*
*Tum, quando iterum consurrexissent, omnem rursus arenam*
*Conuerrebant: ne pubis vestigium amanti remaneret.*
E *Nullus tum puer infra vmbilicum vngebatur: sed ibidem*
*Ros & lanugo pubetenus efflorescebat, vt agnis.*
*Nullus vocem subigebat molliculam aduersus amantem:*
*Nec seipsum quisquam oculorum obtutu, incedens, prostituebat.*

Σχόλια. Λέξω τοίνυν] ἔκθεσις διπλῆς περιοδικῆς ἀμοιβαίας μονοστροφικῆς ὑφ' ἕν, διὰ τὸ εἰς μῆκος ἐκτείνεσθαι τὴν περίοδον ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν μζ. ὧν τελευταῖος ἥρως ἐν ὥρᾳ χαίρων ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ. τοῦτο δὲ τὸ μέτρον Ἀριστοφάνειον καλεῖται. ἐπειδὴ εὐδοκίμησε λέγων, ὡς ὅτε ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη νενόμιστο. (ἀντὶ τοῦ ἐνενόμιστο) τοῦτ' οὖν ἄγαν Ἀριστοφάνης ἀπεδέχετο, ὡς εὖ πεποιημένον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Εἰς κιθαριστοῦ.] οὕτως ἀττικοί. ἐσπούδαζον γὰρ περὶ τὴν κιθάραν οἱ Ἀθηναῖοι τότε μανθάνειν μὴ φροντίζοντες τοῦ καλύπτεσθαι. Κωμήτας,] τὸ χ ὅτι κωμήτας τοὺς ἐκ τοῦ αὐτοῦ ἀμφόδου καὶ τόπου ἔλεγον. Κριμνώδη.] ἀντὶ τοῦ παχεῖαν σύστασιν ἔχοντα παρὰ τοὺς κρίμνους. οὗτοι γὰρ παχύτεροι τῶν ἀλεύρων. κρίμνος γὰρ εἶδος ἀλεύρου. Τὼ μηρὼ μὴ ξυνέχοντας.] ἀντὶ τοῦ ἀνειμένως ἑστῶτας πρὸς τὸ μὴ θλίβειν

F τὸ μόριον ἐκθλίβοντας τὰ αἰδοῖα ἐκ τοῦ συνέχειν τοὺς μηρούς. Παλλάδα.] εἴδη ᾀσμάτων ἀμφότερα τὸ Παλλάδα περσέπολιν θεάν, καὶ τὸ τηλέπορόν τι βόαμα. τὸ μὲν οὖν πρότερον Λαμπροκλέους εἶναί φασιν Ἀθηναίου τοῦ Μίδωνος υἱοῦ. ἔχει δὲ οὕτως. Παλλάδα περσέπολιν κλήζω πολεμαδόκον ἁγνὸν παῖδα Διὸς μεγάλου δαμάσιππον. τὸ δὲ τηλέπορόν τι βόημα μὴ εὑρίσκεσθαι ὅτου ποτ' ἐστιν. ἐν γὰρ ἀποσπάσματι εὑρεῖν Ἀριστοφάνη ἐν τῇ βιβλιοθήκῃ. τινὲς δέ φασιν αὐτὸ Κυδίδου Ἑρμιονέως τηλέπορόν
G τι βόημα λύρας. ἄλλως. οὕτως Ἐρατοσθένης. Φρύνιχος αὐτοῦ τούτου τοῦ ᾄσματος μέμνηται ὡς Λαμπροκλέους ὄντος τοῦ Μίδωνος υἱοῦ ἢ μαθητοῦ. ἔχει δὲ οὕτως. Παλλάδα περσέπολιν δεινὴν θεὸν ἐγρεκύδοιμον ποτικλήζω πολεμαδόκον ἁγνὰν παῖδα Διὸς μεγάλου δαμάσιππον. καὶ κατὰ Λαμπροκλέα ὑποτίθησι κατὰ λέξιν. τὸ δὲ Τηλέπορον βόημα Κυδίδου τοῦ Ἑρμιονέως κιθαρῳδοῦ ἀπό τινος τῶν ᾀσμάτων. Τηλέπορόν τι βόαμα λύρας. Τὴν ἁρμονίαν.] τὴν κιθάραν, ὡς